*Ὃς κεφαλὴν αἰὲν παρεβάλλετο εἵνεκα πάτρης,*
*ἠνὶ τὸν ἀγνώμων κρατὸς ἄμερσε πάτρη·*
*ἱερά τ' ἠδὲ βέβηλ' ὃς ἀάπτοις ῥύετο χερσίν,*
*θῆκε τὸν ἀμφοτέρων πατρὶς ἴδ' ὀρφανικόν.*
*Κελτῶν γαῖ' ἀχάριστε, τεῷ πατρὶ τοῖ' ἀποτίνεις,*
*πρόξενος οὖσα τεοῦ αἴσχεος ἀϊδίου ;*
*Γάσπαρις ὀψιγόνοις ζώει μήν· φήμη ἀείσει*
*Γασπάριδος κεφαλήν, Γασπάριδός τε χέρας*
*οὐλομένη· σὲ δ' ἐρεῖ ἅπας αἰὼν πατρὸς ἀεικῶς*
*ὧδε ταμεῖν κεφαλήν, ὧδε ταμεῖν τε χέρας.*

Ἡ προσήλωσίς του εἰς τὸν προτεσταντισμὸν ἐνέπνευσεν εἰς αὐτὸν καὶ τὰ τρία ἐπιτάφια ἐπιγράμματα εἰς τὸν Ἰωάν. Καλβῖνον, τοῦ ὁποίου τὸν θάνατον θρηνεῖ μὲ ἀληθινὸν πόνον:

*Τίς δὴ ποιμανέει λαοὺς ἔτι ; τὶς ποτὶ κράναν*
*ἄξει νῦν καθαροῦ νάματος ἀενάου ;*
*τίς δέ κε θυμοβόρων ἀπαλάλησε κήδεα νούσων ;*
*αὐλῆς ἠὲ λύκους εἶρξετ' ἀπ' ὠμοβόρους ;*
*Ὤχετο δὴ λαμπρὸν γαίης φάος, ᾤχετο ποιμὴν*
*Καλβῖνος ψυχὰς βόσκων ὃς ἀμβροσίη.*
*Τοίγαρ δακρυχέει Ροδανοῦ κάρα καὶ στοναχεῦσιν*
*ἔθνεα πάνθ' ἁγνῆς οἷς μέλει εὐσεβίης.*
*Οὐρανὸς ἀλλὰ μέγας πολυδαίδαλος, ᾧ ἔνι λάμπει,*
*τέρπετ' ἄγαλμα τοσόνδ' ὄψε κομισάμενος.*

Διαμένων πάντοτε εἰς Γενεύην ὁ Φρ. Πόρτος ἀπὸ τῆς ἐκεῖ ἐγκαστάσεώς του, ἀπέθανεν ἐξ ἐγκεφαλικῆς συμφορήσεως κατὰ τὴν 5 Ἰουνίου 1581, ἤτοι εἰς ἡλικίαν ἑβδομήκοντα καὶ πλέον ἐτῶν. Ὁ φίλος του Θεόδωρος de Bèze τὸν ἐξύμνησε διὰ λατινικοῦ ποιήματος, ὁ δὲ Ἰσαὰκ Casaubon συνέθεσεν ἐπίγραμμα πρὸς τιμήν του, δημοσιευθὲν εἰς τὰ ἐκδοθέντα κατὰ τὸ 1583 σχόλια τοῦ Φρ. Πόρτου εἰς τὰς Ὠδὰς τοῦ Πινδάρου, καὶ ἔχον οὕτω:

*Πιερίδες Μοῦσαι, μεγάλου τάφου ἀμφιχυθεῖσαι*
*Πόρτου (ἁπάντων ἀνδρὸς αὐταῖσιν φίλου*
*ἔξοχ', ἐπεὶ καὶ πάντων ἔσκεν ὅ γ' ἔξοχος ἄλλων)*
*αὐτοῦ ἐτάκονθ' ἱμέρῳ τε καὶ πόθῳ.*
*Αὐτὰρ ὁ κ' εἰν ἀΐδαο φιλούσας ἀντιφιλήσας*
*καλὸν καλαῖς Μοίσαισι δῶρον ὤπασεν·*
*δῶρον, ναί, Μοῖσαι, καλὸν ὤπασε. Πόρτε, σὺ δ' οὕτως*
*ὁ ζῶν μέγιστε καὶ μέγιστε νῦν θανών,*
*καὶ Μοίσας καὶ πάντας ὅσοι Μοίσαις ἐφίλαθεν*
*ζῶν τ' ὠφέλησας, ὠφελεῖς τε νῦν θανών.*